ἡ γὰρ φύσις παρανομεῖται γυναικοκρατουμένη. τί τοιοῦτον C
ἡ Λῆμνος; ἴωμεν ἡμεῖς, ἴωμεν' εἶπεν, 'ὅπως καὶ τὸ γυμνά-
σιον ταῖς γυναιξὶ παραδῶμεν καὶ τὸ βουλευτήριον, εἰ
παντάπασιν ἡ πόλις ἐκνενεύρισται.' προάγοντος οὖν τοῦ
Πεισίου, ὁ μὲν Πρωτογένης οὐκ ἀπελείπετο τὰ μὲν συνα-
γανακτῶν τὰ δὲ πραΰνων ἐκεῖνον· ὁ δ' Ἀνθεμίων 'νεα-
νικὸν μέν' ἔφη 'τὸ τόλμημα καὶ Λήμνιον ὡς ἀληθῶς, αὐ-
τοὶ γάρ ἐσμεν, σφόδρ' ἐρώσης γυναικός.' καὶ ὁ Σώκλα-
ρος ὑπομειδιῶν 'οἴει γὰρ ἁρπαγήν' ἔφη 'γεγονέναι καὶ
βιασμόν, οὐκ ἀπολόγημα καὶ στρατήγημα τοῦ νεανίσκου
νοῦν ἔχοντος, ὅτι τὰς τῶν ἐραστῶν ἀγκάλας διαφυγὼν D
ἐξηυτομόληκεν εἰς χεῖρας καλῆς καὶ πλουσίας γυναικός;'
'μὴ λέγε ταῦτ',' εἶπεν 'ὦ Σώκλαρε, μηδ' ὑπονόει ἐπὶ
Βάκχωνος' ὁ Ἀνθεμίων· 'καὶ γὰρ εἰ μὴ φύσει τὸν τρό-
πον ἁπλοῦς ἦν καὶ ἀφελής, ἐμὲ γοῦν ⟨οὐκ ἂν⟩ ἀπεκρύ-
ψατο, τῶν τ' ἄλλων μεταδιδοὺς ἁπάντων ἔν τε τούτοις
ὁρῶν προθυμότατον ὄντα τῆς Ἰσμηνοδώρας βοηθόν·
Ἔρωτι δὲ 'μάχεσθαι χαλεπόν' οὐ 'θυμῷ' καθ' Ἡράκλει-
τον (fr. 85)· 'ὅ τι γὰρ ἂν θελήσῃ, καὶ ψυχῆς ὠνεῖται' καὶ
χρημάτων καὶ δόξης. ἐπεὶ τί κοσμιώτερον Ἰσμηνοδώρας
ἐν τῇ πόλει; πότε δ' εἰσῆλθεν ἢ λόγος αἰσχρὸς ἢ πράξεως
ὑπόνοια φαύλης ἔθιγε τῆς οἰκίας; ἀλλ' ἔοικε θεία τις E
ὄντως εἰληφέναι τὴν ἄνθρωπον ἐπίπνοια καὶ κρείττων ἀν-
θρωπίνου λογισμοῦ.'

12. Καὶ ὁ Πεμπτίδης ἐπιγελάσας 'ἀμέλει καὶ σώ-
ματός τις' ἔφη 'νόσος ἔστιν, ἣν ἱερὰν καλοῦσιν· οὐδὲν
οὖν ἄτοπον, εἰ καὶ ψυχῆς τὸ μανικώτατον πάθος καὶ μέ-